# Hdt. 8,44,2

| | |
|---|---|
| Title | The Histories |
| Author | Herodotus |
| Date | 5th Cen.B.C. |
| Original text | Ἀθηναῖοι μὲν πρὸς πάντας τοὺς ἄλλους παρεχόμενοι νέας ὀγδώκοντα καὶ ἑκατόν, μοῦνοι · ἐν Σαλαμῖνι γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθηναίοισι διὰ τοιόνδε τι πρῆγμα · ἀπαλλασσομένων τῶν Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου, ὡς ἐγίνοντο κατὰ Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν περαίην τῆς Βοιωτίης χώρης πρὸς ἐκκομιδὴν ἐτράποντο τῶν οἰκετέων ·οὗτοι μέν νυν τούτους σῴζοντες ἐλείφθησαν. Ἀθηναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλεομένην ἦσαν Πελασγοί, ὀνομαζόμενοι Κραναοί, ἐπὶ δὲ Κέκροπος βασιλέος ἐπεκλήθησαν Κεκροπίδαι, ἐκδεξαμένου δὲ Ἐρεχθέος τὴν ἀρχὴν Ἀθηναῖοι μετωνομάσθησαν, Ἴωνος δὲ τοῦ Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες. |
| Source | Ph.-E. Legrand, Hérodote. Histoires, Buch VIII. |
| Source of translation | J. Feix, Herodot: Historien, Bd. 2, Buch VI-IX. |
| Instances | Hdt. 1,57,1-3; Hdt. 2,51,2; Apollod. 3,177 |
| Descriptor | Ion, eponym hero, tribal name |
| Coverage | Athens |
| Ethnic Groups | Pelasgians, Ionians |
| Editor | Anna Trattner-Handy |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |